τῆς Ιδουμαίας καὶ σύνεσιν ἐξ ὄρους Ησαυ· [9]καὶ πτοηθήσονται οἱ 9
μαχηταί σου οἱ ἐκ Θαιμαν, ὅπως ἐξαρθῇ ἄνθρωπος ἐξ ὄρους Ησαυ
[10]διὰ τὴν σφαγὴν καὶ τὴν ἀσέβειαν τὴν εἰς τὸν ἀδελφόν σου Ια- 10
κωβ, καὶ καλύψει σε αἰσχύνη καὶ ἐξαρθήσῃ εἰς τὸν αἰῶνα.
[11]Ἀφ᾽ ἧς ἡμέρας ἀντέστης ἐξ ἐναντίας ἐν ἡμέρᾳ αἰχμαλωτευόν- 11
των ἀλλογενῶν δύναμιν αὐτοῦ καὶ ἀλλότριοι εἰσῆλθον εἰς πύλας
αὐτοῦ καὶ ἐπὶ Ιερουσαλημ ἔβαλον κλήρους, καὶ σὺ ἦς ὡς εἷς ἐξ
αὐτῶν. [12]καὶ μὴ ἐπίδῃς ἡμέραν ἀδελφοῦ σου ἐν ἡμέρᾳ ἀλλοτρίων 12
καὶ μὴ ἐπιχαρῇς ἐπὶ τοὺς υἱοὺς Ιουδα ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν
καὶ μὴ μεγαλορρημονήσῃς ἐν ἡμέρᾳ θλίψεως· [13]μηδὲ εἰσέλθῃς εἰς 13
πύλας λαῶν ἐν ἡμέρᾳ πόνων αὐτῶν μηδὲ ἐπίδῃς καὶ σὺ τὴν συν-
αγωγὴν αὐτῶν ἐν ἡμέρᾳ ὀλέθρου αὐτῶν μηδὲ συνεπιθῇ ἐπὶ τὴν
δύναμιν αὐτῶν ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν· [14]μηδὲ ἐπιστῇς ἐπὶ τὰς 14
διεκβολὰς αὐτῶν τοῦ ἐξολεθρεῦσαι τοὺς ἀνασῳζομένους αὐτῶν
μηδὲ συγκλείσῃς τοὺς φεύγοντας ἐξ αὐτῶν ἐν ἡμέρᾳ θλίψεως. [15]δι- 15
ότι ἐγγὺς ἡμέρα κυρίου ἐπὶ πάντα τὰ ἔθνη· ὃν τρόπον ἐποίησας,
οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφα-
λήν σου· [16]διότι ὃν τρόπον ἔπιες ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου, πίον- 16
ται πάντα τὰ ἔθνη οἶνον· πίονται καὶ καταβήσονται καὶ ἔσονται
καθὼς οὐχ ὑπάρχοντες.
[17]Ἐν δὲ τῷ ὄρει Σιων ἔσται ἡ σωτηρία, καὶ ἔσται ἅγιον· καὶ 17
κατακληρονομήσουσιν ὁ οἶκος Ιακωβ τοὺς κατακληρονομήσαντας
αὐτούς. [18]καὶ ἔσται ὁ οἶκος Ιακωβ πῦρ, ὁ δὲ οἶκος Ιωσηφ φλόξ, 18
ὁ δὲ οἶκος Ησαυ εἰς καλάμην, καὶ ἐκκαυθήσονται εἰς αὐτοὺς καὶ
καταφάγονται αὐτούς, καὶ οὐκ ἔσται πυροφόρος ἐν τῷ οἴκῳ Ησαυ,
διότι κύριος ἐλάλησεν. [19]καὶ κατακληρονομήσουσιν οἱ ἐν Ναγεβ τὸ 19
ὄρος τὸ Ησαυ καὶ οἱ ἐν τῇ Σεφηλα τοὺς ἀλλοφύλους καὶ κατα-
κληρονομήσουσιν τὸ ὄρος Εφραιμ καὶ τὸ πεδίον Σαμαρείας καὶ
Βενιαμιν καὶ τὴν Γαλααδῖτιν. [20]καὶ τῆς μετοικεσίας ἡ ἀρχὴ αὕτη· 20
τοῖς υἱοῖς Ισραηλ γῆ τῶν Χαναναίων ἕως Σαρεπτων καὶ ἡ μετοι-

10 την εις τον αδελφον AQS$^c$WL] αδελφου BS*C | και 2$^0$ AQS$^c$WL] > B S*C || 11 ημερα] -ραις BS† | αυτου 1$^0$] -των S*† | πυλας] pr. τας A || 12 επιδοις AV: item V† in 13 | μεγαλο(ρ)ρημονησης] -νης BW† || 13 λαων] λαου Q*, λαου σου A†; λαου μου S$^c$† = α′ | πονων] -νου AQ, -νηρων S*† αυτων 2$^0$ 3$^0$ 4$^0$ 5$^0$] -του S$^c$†: sic 5$^0$ etiam VC† et α′ σ′ θ′ || 14 επιστης] επι > A | αυτων 1$^0$ AQS$^c$L] -του BS*C | του AQ] > BSLC | αυτων 2$^0$ AQ] pr. εξ S$^c$L, αυτου BS*, εξ αυτου C | εξ αυτων AQW(uid.)C] αυτων S$^c$L, αυτου BS*† || 15 ημερα] pr. η SA: cf. Ioel 1 15 | κυριου] pr. του A | εστω A† || 16 διοτι] δια τουτο A† | πιονται 1$^0$⌒2$^0$ BS*† || 17 η σωτ.] η > BS*Lp, + σου W† || 18 εκκαυθησεται AQW | και 3$^0$ > S*† | πυροφορος BS*WLpC] πυρφ. AQS$^c$Lp | εν AQW] > BSLC | ησαυ ult.⌒19 ησαυ W* | διοτι] οτι S$^c$LC || 19 σεφηλα] pr. πεδινη W†: sic uertit α′